# 01 IULIE
# +CHIRIL KOGHERAKIS AL RHODOSULUI

# SLUJBA SOBORULUI SF.CRETEI



## MINEIUL SF.CRETEI-03
## HERAKLION,2001


CΥΝΑΞΙC ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ
ΚΡΗΤΗ ΔΙΑΛΑΜΨΑΝΤΩΝ ΑΓΙΩΝ

www.tezaurliturgic.ro

# ΚΥΡΙΑΚΗ͂ ΠΡΩΤΗ͂ ΤΟΥ ΙΟΥΛΙΟΥ ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΚΡΗΤΗ͂ ΔΙΑΛΑΜΨΑΝΤΩΝ ΑΓΙΩΝ*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ´ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ προσόμοια.

Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Σήμερον χαίρει ἡ Κρήτη, ἡ πολυθαύμαστος, καλλίγονος ὡς μήτηρ, ἐπὶ τέκνοις Ἁγίοις, καὶ ᾄδει τῷ Κυρίῳ ᾆσμα καινόν, εὐσεβῶς ἀνακράζουσα· ὁ θαυμαστὸς ἐν Ἁγίοις πάντων Θεός, τῷ λαῷ σου δίδου ἔλεος.

Ἀθανασίας τὰ ἄνθη, τὰ εὐωδέστατα, τοὺς ἐν τῇ Κρήτῃ πάντας, θεοφόρους Ἁγίους, ὡς χάριτος δοχεῖα περιφανῆ, μακαρίσωμεν σήμερον, ὅτι ἀεὶ παῤῥησίᾳ ὑπὲρ ἡμῶν, τῷ Σωτῆρι ἐντυγχάνουσι.

Τοῦ εὐκλεοῦς ἀρχιθρόνου, Τίτου τοῦ μάκαρος, τῆς μυστικῆς φυτείας, τοὺς βλαστοὺς κατὰ χρέος, Ἁγίους τοὺς ἐν Κρήτῃ δεῦτε ᾠδαῖς, ἀδελφοὶ ἀνυμνήσωμεν, ὅτι ἡμῖν ὑποδείγματα ἀκριβῆ, ἐναρέτου βίου πρόκεινται.

Ἡ τῶν ἐν Κρήτῃ Ἁγίων, θεία συνέλευσις, φυλάττετε ἐκ πάσης, συνοχῆς καὶ ἀνάγκης, ὑμᾶς τοὺς εὐφημοῦντας πανευλαβῶς, ὡς πυξία τοῦ Πνεύματος, ὡς ὑποφήτας τῆς πίστεως θαυμαστούς, καὶ Χριστοῦ πιστοὺς θεράποντας.

Δόξα Πατρί. Ἦχος πλ. δ´.

Τῷ Βασιλεῖ τῶν αἰώνων στρατευθέντες, ἐν ἀρετῆς πολυειδέσι τρόποις, καὶ ἕκαστος ἰδίῳ καιρῷ, ἐν τοῖς ὅπλοις ὡς γέγραπται τοῦ φωτός, τὸν τοῦ σκότους δυνάστην ἐνικήσατε, οἱ ἐν Κρήτῃ πολυάριθμοι Ἅγιοι· διὸ γέρα ποικίλα λαβόντες, τῆς θεώσεως ταῖς ἀνεσπέροις μαρμαρυγαῖς, ἐν πρωτοτόκων σκηναῖς ἐλαμπρύνθητε, καὶ τῷ τρισακτίνῳ Ἡλίῳ τῆς ζωῆς, μετὰ δόξης ἀπείρου παρέστητε, τὸν φωτισμὸν αἰτούμενοι, τοῖς πόθῳ ὑμᾶς γεραίρουσι.

---

* Ἡ Ἀκολουθία πάντων τῶν ἐν Κρήτῃ διαλαμψάντων Ἁγίων ἐποιήθη ἐν ἔτει 2001, προνοίᾳ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Πέτρας καὶ Χεῤῥονήσου κ. ΝΕΚΤΑΡΙΟΥ καὶ δημοσιεύεται τὸ πρῶτον ἐνταῦθα. Ὁ Μικρὸς Ἑσπερινός, τὰ Ἑσπέρια Στιχηρὰ μετὰ τοῦ Δοξαστικοῦ αὐτῶν, τὸ γ´ Ἀπολυτίκιον, τὰ Καθίσματα τοῦ Ὄρθρου, ὁ ἐν τῷ Ὄρθρῳ α´ Κανὼν τὸ β´ Κοντάκιον καὶ ὁ Οἶκος, τὰ Ἐξαποστειλάρια καὶ τὰ Στιχηρὰ Προσόμοια τῶν Αἴνων συνετάχθησαν ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη. Ὁ Ἱερεὺς Εὐάγγελος Παχυγιαννάκης ἐποίησε τὰ ἐν τῇ Λιτῇ Ἰδιόμελα, τὸ α´ Ἀπολυτίκιον, τὸν β´ ἐν τῷ Ὄρθρῳ Κανόνα, τὰ α´ Κοντάκιον καὶ τὸ Δοξαστικὸν τῶν Αἴνων. Τὸ Δοξαστικὸν τῶν Ἀποστίχων συνετάχθη ὑπὸ τοῦ Ἱερέως Γεωργίου Σωμαράκη, τὸ δὲ β´ Ἀπολυτίκιον ὑπὸ τοῦ Ἱερέως Ἐμμανουὴλ Σταυρουλάκη.

Καὶ νῦν. Τὸ δογματικὸν τοῦ ἤχου Θεοτοκίον.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος δ'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις θεῖος χορός, Ἁγίων τῶν ἐν Κρήτῃ, τῆς πίστεως φωστῆρες, οἱ πάντας δᾳδουχοῦντες, φωτὶ Θεοῦ τῆς χάριτος.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Πίστεως ἐν ὑμῖν, ἡ δύναμις ἐδείχθη, ἐκλάμπουσα ποικίλως, ἐν χρόνοις διαφόροις, Θεοῦ προνοίᾳ Ἅγιοι.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Πάντοτε τῷ Θεῷ, πρεσβεύετε φυλάττειν, ἐκ συμφορῶν τὴν Κρήτην, ὑμῶν ἐγκαυχωμένην, τῇ συνελεύσει Ἅγιοι.

Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὁ Θεός, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὁ θαυμαστὸς ὑπάρχων, ὡς ὁ Προφήτης ἔφη, ἀεὶ ἐν τοῖς Ἁγίοις σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα ἀγαθή, ἀγάθυνον τὸν νοῦν μου, καὶ δός μοι τὴν ζωήν μου, ἀξίως ἐκτελέσαι, Θεοῦ ἐν τῷ θελήματι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι' καὶ ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῶν Ἁγίων τὰ κάτωθι στ'.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ ἐν Κρήτῃ ἀγάλλεται, Ἐκκλησία ἐν Πνεύματι, καὶ λαμπρὰν πανήγυριν ἄγει σήμερον, τοὺς μαργαρίτας τῆς πίστεως, τὰ ἄνθη τὰ πνέοντα, εὐωδίαν ἀρετῶν, εὐσεβείας τὰς σάλπιγγας, τοὺς ἐν ἔτεσιν, ἐν αὐτῇ διαφόροις ἐν Κυρίῳ, διαπρέψαντας Ἁγίους, χρεωστικῶς μακαρίζουσα.

Μαθητὴν ὡς συνέκδημον, τοῦ Ἐθνῶν χριστοκήρυκος, καὶ τῆς Κρήτης ἔνθεον πρωτεπίσκοπον, Τίτε θεόφρον ἀπόστολε, τιμῶμέν σε σήμερον, συντιμῶντες, εὐσεβῶς, τοὺς βλαστοὺς οὓς ἐξήνεγκεν, ἡ φυτεία σου, ὡς Ἁγίων θεόλεκτον χορείαν, μεθ' ὧν πρέσβευε Κυρίῳ, ἀεὶ φυλάττειν τὴν ποίμνην σου.

Εὐφημείσθω Εὐμένιος, Πινυτὸς Πέτρος Φίλιππος, σὺν Ἀνδρέᾳ Κύριλλος καὶ Εὐτύχιος, Μύρων ὁ θεῖος καὶ Ἄνθιμος, καὶ ἅπας ὁ σύλλογος, τῶν σοφῶν Ἱεραρχῶν, οἱ ἀξίως ἐμπρέψαντες, προτερήμασιν, οὐρανίου ζωῆς καὶ ποιμασίας, καὶ κοσμήσαντες ἐνθέως, Τίτου τὸν θρόνον τοῦ μάκαρος.

Τὸ δεκάριθμον σύστημα, τῶν Μαρτύρων ὑμνήσωμεν, σὺν αὐτοῖς δὲ τέσσαρας τοὺς ἀλκίφρονας, τοὺς ἐν Ῥεθύμνῃ ἐμπρέψαντας, καὶ πάντας τιμήσωμεν, Ἀθλοφόρους τοὺς κλεινούς, τοὺς ἀρτίως καὶ πρόπαλαι, ἐναθλήσαντας, ὑπὲρ φύσιν Κυρίου τῇ ἀγάπῃ, καὶ τὴν Κρήτην τῶν αἱμάτων, ταῖς προχοαῖς ἁγιάσαντας.

Τῶν Ὁσίων τὸ ἄθροισμα, τοὺς ἐν Κρήτῃ τελέσαντας, ἐγκρατείας δίαυλον τὸν οὐράνιον, καὶ ἐξ αὐτῶν τοὺς φοινίξαντας, αἱμάτων τοῖς ῥεύμασι, τῆς ἀσκήσεως στολήν, εἰς χορείαν συνάψαντες, μίαν σήμερον, σὺν γνωστοῖς τοὺς ἀγνώστους ἐπαξίως, εὐφημήσωμεν ὡς βίου, θεοφιλοῦς ὑποδείγματα.

Κρητονήσου τὸν πρόεδρον, ὡς ποιμένα γεράσμιον, ἅπαντες Γεράσιμον ἀνυμνήσωμεν, καὶ τοὺς αὐτῷ συναθλήσαντας, φαιδρῶς ἐπαινέσωμεν, ὅτι ᾔσχυναν στεῤῥῶς, τῶν τυράννων τὴν ἔπαρσιν, καὶ ἐτράνωσαν, τῶν Πατέρων τὴν πίστιν ἐν ἐσχάτοις, μαρτυρίου τοῦ κρατῆρος, ἐν εὐφροσύνῃ γευσάμενοι.

Δόξα Πατρί. Ἦχος πλ. δ'.

Σήμερον ὡς πολύφωτος λυχνία, τῆς τῶν Κρητῶν Ἐκκλησίας τῷ πληρώματι, τῶν ἐν αὐτῇ διαλαμψάντων Ἁγίων, ἡ σεβασμία ὁμήγυρις ἐξέλαμψε, τῶν εὐσεβῶν τὰς καρδίας πυρσεύουσα, τῶν ἐν ὁμοφροσύνῃ βοώντων· χαίροις χορεία περιφανής, ἡ τὸν ἀρχίθρονον Τίτον, ἔξαρχον ἔχουσα οὐράνιον, καὶ αὐτὸν πλουτοῦσα ἀληθῶς, θεόκτιστον πίστεως προπύργιον· χαίροις ὀλβία συνέλευσις, ἡ τὴν πνευματικὴν τοῦ Παύλου φυτείαν, πολυειδῶς ἀναδείξασα πολύφορον, καὶ εἰς ἑκατὸν τῆς εὐσεβείας, ἐν χάριτι τοὺς καρποὺς ἀναβλαστήσασα· χαίροις συναυλία οὐράνιος, τῆς κατὰ Χριστὸν πολιτείας, μυστικῶς τὸ κάλλος ἐκφαίνουσα, καὶ τοὺς πιστοὺς ἀεὶ ποδηγετοῦσα, πρὸς ὁδὸν ἀρί-

www.tezaurliturgic.ro

στην τελειότητος. Ἀλλ' ὡς ἔχοντες παῤῥησίαν πρὸς Θεόν, ὡς αὐτοῦ ἡγιασμένοι θεράποντες, ἐκτενῶς πρεσβεύετε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὸ Θεοτοκίον τοῦ ἤχου.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ' 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε' 15-στ' 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ' 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.
Εὐαγγέλου Ἱερέως.

Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἀποστολικὴ ἐν Κρήτῃ Ἐκκλησία, ἀγάλλου καὶ χόρευε, ἐπὶ τῇ ἐρατεινῇ πανηγύρει, τῆς ἐνδόξου Συνάξεως, πάντων τῶν Ἁγίων σου. Οὗτοι γὰρ ἐν σοὶ διαπρέψαντες, πάσης Ἐκκλησίας ἀῤῥαγεῖς θεμέλιοι ἀνεδείχθησαν· ὡς γὰρ Ἀπόστολοι ἔνδοξοι, ποιμένες τε καὶ διδάσκαλοι, τὰς ψυχὰς τῶν ἀνθρώπων ἐγεώργησαν, καὶ γῆν καρποφόρον ἀνέδειξαν, τὸν τῆς ἀληθείας λόγον πολλαπλῶς ἐμφυτεύσαντες, καὶ ἱδρῶσι σὺν δάκρυσιν ἐμποτίσαντες· πάντες δέ, Ἱεράρχαι καὶ Μάρτυρες, Ἱερεῖς τε ἰδιῶται καὶ θεοφόροι μονάζοντες, καρποὺς Θείου Πνεύματος τῇ ἅλωνι ἀκαμάτως, τῆς τοῦ Χριστοῦ βασιλείας συνήγαγον. Τούτων καὶ ἡμεῖς, τοὺς ἀθανάτους καρποὺς δρεπόμενοι, ὡς ἀληθοῦς τροφῆς κοινωνοῦντες, τὸν Θεὸν δοξάσωμεν ὕμνοις, καὶ αὐτοὺς ἐγκωμίοις τιμήσωμεν.

Ἦχος β'.

Τὴν θεοσύστατον χορείαν, πάντων τῶν ἐν Κρήτῃ Ἁγίων, ἐν ποικίλοις ᾄσμασιν, ὡς ποικίλας ἀρετὰς βιώσασαν, ἐπαξίως τιμήσωμεν· τοὺς Ἀποστόλους καὶ Ἱεράρχας, Λευϊτῶν τὰς χορείας, καὶ Ὁσίων τὰ συστήματα· σὺν τούτοις δέ, ἀθλοφόρους Μάρτυρας καλλινίκους, καὶ εὐψύχους Νεομάρτυρας, ἀνδρῶν γνησίων τὴν σωφροσύνην, καὶ γυναικῶν τὴν εὐτολμίαν· χαίρετε ἀνακράζοντες, σμῆνος Ἁγίων θεόφιλον, οἱ τῷ πνεύματι ζήσαντες, καὶ τῇ σαρκὶ ὡς ἄσαρκοι ἐν γῇ πολιτευσάμενοι· οἱ ἀκτίστων ἀστραπῶν δεξάμενοι τὴν ἐνέργειαν, καὶ ἐν φόβῳ ἁγίῳ τὰς καρδίας πυρποληθέντες, καὶ τὴν ἀγάπην βιώσαντες. Ἀλλ' ὡς ἀγαλλόμενοι πάντες ἐν οὐρανοῖς, καὶ σὺν Ἀγγέλοις εὐφραινόμενοι, μὴ παύσησθε Χριστὸν ἐκδυσωποῦντες, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων ὑμᾶς, ἐγκωμίων ᾄσμασιν.

Ἦχος γ'.

Τὸν τῶν Ἁγίων πολυσύνθετον δῆμον, ὃν ἐξέθρεψε τῶν Κρητῶν ἡ νῆσος, πανενδόξοις ᾄσμασι καὶ ᾠδαῖς εὐφημήσωμεν· ἦκε γὰρ Συνοδικῇ ἀποφάσει, τῇ ἐπιπνοίᾳ τοῦ Πνεύματος, ἡ ἑόρτιος αὕτη ἡμέρα, χρεωστικῶς ἑορτάσαι αὐτόν· Παῦλον τὸν ἀπόστολον καὶ τὸν αὐτοῦ συνέκδημον Τίτον, καὶ σὺν τούτοις Ἀποστόλους Ἱεράρχας Ἱερεῖς, Διακόνους τε καὶ πανοσίους Πατέρας καὶ Μητέρας. Ἡ πάντων οὖν προκειμένη Σύναξις, εἰς ἔπαινον δόξης τοῦ πανοικτίρμονος Θεοῦ, εὐφημείσθω ἀξίως, καὶ τοὺς ταύτην πανευκλεῶς συγκροτοῦντας, ᾀσματικοῖς ἐγκωμίοις προσείπωμεν λέγοντες· παντευλόγητοι Κρήτης Ἅγιοι, ἰσχὺς καὶ προπύργιον τῶν ἐν αὐτῇ οἰκούντων, πάντες οἱ στρατευθέντες καλῶς, τῇ τοῦ Σταυροῦ παρατάξει, παρακαλοῦμεν ὑμᾶς καὶ θερμῶς ἱκετεύομεν· ὡς παῤῥησίαν ἔχοντες πρὸς Χριστὸν τὸν Θεόν, αὐτὸν μὴ παύσησθε διηνεκῶς ἐκλιπαροῦντες, τοῦ φυλάττειν ἀεὶ τὴν Ἐκκλησίαν αὐτοῦ, ἀήττητον καὶ ἀπροσμάχητον.

Ἦχος δ'.

Χρεωστικῶς ἡ Ἐκκλησία τῆς Κρητονήσου σήμερον, λαμπροφοροῦσα πανηγυρίζει, τὰ θεοκρότητα μέλη τοῦ νοητοῦ παραδείσου, τὰ ἀνδρωθέντα ἐν τῷ σκάμματι αὐτῆς, καὶ ἐξανθήσαντα ὡς κρίνα ἀειθαλῆ, ἐν πόλεσι καὶ ἐρημίαις, ἐν ἀκρωτηρίοις τε καὶ φάραγξι, ἐν κοιλάσι τε καὶ παραλίαις καὶ ταῖς ὀπαῖς τῆς γῆς· τὰ ἀποῤῥώγων βράχων ἐν σχισμαῖς, τὰς πνευματικὰς καλιὰς αὐτῶν κτίσαντα, καὶ ἐκεῖθεν πετάσαντα τῷ κόσμῳ, τὸ ἔαρ τῆς ἐν Χριστῷ σωτηρίας κομίζοντα· ἕτερα δέ, τὰ ὡς εὐσκιόφυλλα δένδρα ἀναφυέντα, εἰ καὶ ἐν αὐχμηροῖς τόποις ἐβίωσαν, καὶ καρποὺς εὐχύμους τῆς ὄντως ζωῆς, εὐχερῶς ποιήσαντα. Ἐκ τούτων οὖν καὶ ἡμεῖς πόθῳ δρεπόμενοι, χαρμοσύνως ἑορτάσωμεν, εὐχαριστοῦντες τῷ ἐν Τριάδι Θεῷ, τῷ αὐτοὺς χαριτώσαντι, καὶ ἡμῖν παρέχοντι ταῖς αὐτῶν πρεσβείαις, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. α'.

Τὴν ἐτήσιον μνήμην ἐπιτελοῦντες σήμερον, πάντων τῶν ἐν Κρήτῃ Ἁγίων, εὐκλεῶς πανηγυρίσωμεν. Οὗτοι γὰρ ἀληθῶς, τὰ τοῦ Εὐαγγελίου ῥήματα, ἀκριβῶς διερμήνευσαν ἐν τῷ βίῳ αὐτῶν, καὶ ὡς λύχνοι ἐπὶ τὴν λυχνίαν τεθέντες, ταῖς τοῦ Πνεύματος λαμπηδόσι, τὴν κτίσιν πᾶσαν ἐφώτισαν· πρᾶξιν δὲ σχόντες τὴν τοῦ Εὐαγγελίου διδασκαλίαν, ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, ποιήσαντες καὶ διδάξαντες, ἔργοις καὶ λόγοις, ἐν ταῖς οἰκείαις διακονίαις, εἰς βασιλείαν Θεοῦ ὡς μεγάλοι ἐκλήθησαν· ὡς πτωχοὶ δὲ τῷ πνεύματι ἐπλούτησαν, καὶ ὡς πραϋθέντες, τὴν τῶν πραέων γῆν ἐκληρονόμησαν· ὡς δὲ πεινάσαντες δικαιοσύνην, δικαιοσύνης Θεοῦ ἐχορτάσθησαν· καὶ ὡς ἐν μέσῳ ἐχθρῶν εἰρηνεύοντες, τῆς Παναγίας Τριάδος εἰρηναίας ζωῆς μέτοχοι γεγόνασιν· ὡς δ' ἐλεήσαντες ἐν κόσμῳ, ἐν οὐρανῷ ἠλεήθησαν· σὺν πᾶσι δὲ τούτοις, καθαροὶ τῇ καρδίᾳ γεγονότες, μετανοίᾳ νήψει καὶ προσευχῇ, τὸν Θεὸν ἰδεῖν ἠξιώθησαν. Αὐτοὺς καὶ ἡμεῖς ἱκετεύσωμεν, προσευχῇ καὶ νηστείᾳ σχολάζοντες, ὅπως πρεσβεύωσιν ἀεὶ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, ψάλλομεν τὰ ἀναστάσιμα Στιχηρὰ τοῦ τυχόντος ἤχου.

Δόξα Πατρί. Ἦχος πλ. α'.
Γεωργίου Ἱερέως.

Δεῦτε τῶν πιστῶν τὰ συστήματα, ἐν ὕμνοις τιμήσωμεν, τῆς εὐάνδρου Κρήτης, τὰ θεῖα βλαστήματα· Τίτον τὸν ἀπόστολον, πρῶτον ἐπίσκοπον καὶ

πρόεδρον αὐτῆς· τοὺς θεοφόρους Πατέρας Εὐμένιον καὶ Κύριλλον, Μύρωνα τὸν θαυματουργόν, καὶ Ἀνδρέαν τὸν ὑμνογράφον, τοὺς θεοφιλῶς ποιμάναντας, τὸν ἐν Κρήτῃ λαὸν τοῦ Θεοῦ· τῶν ἐν Γορτύνῃ δέκα Μαρτύρων τὸν χορόν, καὶ τοὺς τέσσαρας Νεάθλους ἐν τῇ Ῥεθύμνῃ, καὶ πάντας τοὺς ὑπὲρ Χριστοῦ, τὸ αἷμα αὐτῶν ἐκχύσαντας· τοὺς ἐν Ὁσίοις φωστῆρας, Ἰωάννην τὸν Ξένον καὶ Νίκωνα τὸν Μετανοεῖτε, τοὺς ἰσαποστόλους καὶ κήρυκας, τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ· τοὺς ἐν Πατριάρχαις λαμπροὺς ἀστέρας, Μελέτιον τὸν Πηγᾶν καὶ Ἀθανάσιον τὸν Πατελάρον, ὡς τῆς Ὀρθοδοξίας προμάχους· τὸν Κρήτης πρόεδρον Γεράσιμον, καὶ τοὺς σὺν αὐτῷ Ἀρχιερεῖς, τοὺς Ἱερεῖς καὶ τὸν Λαόν, τοὺς ὑπὲρ πίστεως ἀναιρεθέντας. Πάντων τῶν ἐν Κρήτῃ Ἁγίων μνημονεύοντες, δοξολογήσωμεν Χριστόν, τὸν ἁγιάσαντα αὐτούς, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν· Κύριε, πρεσβείαις τῶν Ἁγίων, τὴν Ἐκκλησίαν σου φύλαττε, ἀπὸ πάσης προσβολῆς ἐναντίων, καὶ ἡμῖν παράσχου ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε· δι' ἧς ὁ Λυτρωτής μου, Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ ἀναστάσιμον Ἀπολυτίκιον· εἶτα δὲ τὸ τῶν Ἁγίων.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τὴν ἔνδοξον χορείαν, Κρητῶν Ἁγίων πάντων, ἥνπερ ἀενάως πλουτίζει, Τριὰς ἡ Παναγία, ἐκ νέων ποικίλων Ἀθλητῶν, ὑμνήσωμεν οἱ πάντες εὐλαβῶς, προσκυνοῦντες τὸν Πατέρα καὶ τὸν Υἱόν, σὺν Πνεύματι τῷ Ἁγίῳ. Δόξα σοι παντευλόγητε Τριάς, δόξα ἐν τοῖς Ἁγίοις σου, ὅτι διὰ πρεσβειῶν αὐτῶν, ἡμεῖς σῳζόμεθα.

Ἕτερον. Ἦχος ὁ αὐτός. Τῆς ἐρήμου πολίτης.
Ἐμμανουὴλ Ἱερέως.

Τοὺς ἐν Κρήτῃ Ἁγίους, ἐγκωμίοις ὑμνήσωμεν, θείους Ἀποστόλους Ὁσίους, Ἱεράρχας καὶ Μάρτυρας, ἀνδρῶν καὶ γυναικῶν τε τοὺς χορούς, τοὺς θαύμασι ἀεὶ καὶ ἀρεταῖς, ὡς τῆς πίστεως φωστῆρας ἀειλαμπεῖς, τὴν νῆσον ἐκλαμπρύνοντας. Δόξα τῷ ἁγιάσαντι αὐτούς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ βεβαιοῦντι δι' αὐτῶν, πίστιν τὴν ὀρθόδοξον.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.
Κυρίλλου Ἱερομονάχου.

Τῆς φυτείας τοῦ Τίτου, ἄνθη τὰ εὔοσμα, Εὐαγγελίου τοῦ λόγου, τοὺς ἀμαράντους βλαστούς, ἀρετῶν τῶν ἐν Χριστῷ, τοὺς θείους βότρυας, τοὺς ἀποστάζοντας ἡμῖν, ἀληθείας γλυκασμόν, τοὺς ἐν τῇ Κρήτῃ Ἁγίους, εὐφημήσωμεν τὴν Τριάδα, δοξολογοῦντες τὴν Ἁγίαν πιστῶς.

Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη, τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν ψάλλομεν πρῶτον τὸ ἀναστάσιμον Κάθισμα τοῦ ἤχου· εἶτα δὲ τὸ τῶν Ἁγίων.

Δόξα Πατρί. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Χορὸς ὁ θαυμαστός, τῶν ἐν Κρήτῃ Ἁγίων, τιμάσθω εὐσεβῶς, μελιχραῖς ὑμνῳδίαις, ὡς σκεύη πολυτίμητα, δωρεῶν Θείου Πνεύματος, ὡς πολύφωτοι, τῆς εὐσεβείας ἀστέρες, καταυγάζοντες, τοὺς παροικοῦντας τὴν νῆσον, ἀκτῖσι τῆς χάριτος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν θείαν σου Μορφήν, ἐν Εἰκόνι ὁρῶντες, βαστάζουσαν φρικτῶς, τὸν Δεσπότην τοῦ κόσμου, τὸν νοῦν ἐξιστάμεθα, καὶ πιστῶς ἐκβοῶμέν σοι· χαῖρε Δέσποινα, Ἀντιφωνήτρια Κόρη, ἡ βραβεύουσα, ταῖς μητρικαῖς σου πρεσβείαις, ἡμῖν χάριν ἄφθονον.

Μετὰ τὴν β΄ Στιχολογίαν ψάλλομεν πρῶτον τὸ ἀναστάσιμον Κάθισμα τοῦ ἤχου· εἶτα δὲ τὸ τῶν Ἁγίων.

Δόξα Πατρί. Ἦχος δʹ. Ταχὺ προκατάλαβε.

Ἡ Κρήτη ἀγάλλεται, δαυϊτικῶς πανδημεῖ, ἐν ὕμνοις γεραίρουσα, τῶν ἐν αὐτῇ εὐκλεῶν, Ἁγίων τὸ ἄθροισμα· τούτους γὰρ ὁ Δεσπότης, τοῦ παντὸς θαυμαστώσας, ἔδειξε τῆς πατρίδος, κραταιοὺς πολιούχους, προστάτας τε προμάχους ἀεί, καὶ ῥύστας ἐν θλίψεσιν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰκών σου ἡ πάντιμος, τὸ τῆς μυρσίνης φυτόν, οἰκεῖν ἠρετίσατο, ἐξ οὗ ἐκβλύζει ἡμῖν, ἀπαύστως ἡ χάρις σου. Ὅθεν Παληανή σε, Θεοτόκε τιμῶμεν, χαῖρέ σοι ἐκβοῶντες, τῆς Μονῆς σου ἡ σκέπη, καὶ πάσης Κρητονήσου, προστάτις ἀνύστακτος.

Μετὰ τὸν Πολυέλεον εὐθὺς τὰ Εὐλογητάρια. Αἴτησις παρὰ τοῦ Ἱερέως καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου, χῦμα. Εἶτα τὸ Κάθισμα τῶν Ἁγίων.

Ἦχος δʹ. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ θαυμαστώσας τοὺς ἐν Κρήτῃ Ἁγίους, καὶ δι' αὐτῶν μεγαλυνθεὶς ὑπὲρ λόγον, Θεὸς ὁ προσκυνούμενος, προσώποις ἐν τρισί, σῶσον ὡς φιλάνθρωπος, ταῖς αὐτῶν ἱκεσίαις, πάντας τοὺς ἐλπίζοντας, οἰκτιρμῶν σου τῷ πλούτῳ, καὶ ἐξ ἐχθρῶν δεινῆς ἐπιδρομῆς, ταύτην τὴν νῆσον συντήρει ἀλώβητον.

Δόξα Πατρί. Ἦχος δʹ. Ὅμοιον.

Τὴν πολυάριθμον συμφώνως χορείαν, τῶν ἐν τῇ Κρήτῃ ἐν Χριστῷ βιωσάντων, Ἁγίων εὐφημήσωμεν, ἐν ὕμνοις οἱ πιστοί, Μάρτυρας ἀλκίφρονας, Ἱεράρχας ἐνθέους, θείους Νεομάρτυρας, Ἀποστόλους Ὁσίους, ἵνα αὐτῶν πρεσβείαις ὁ Θεός, πάντας ἡμᾶς τοῦ ἀλάστορος ῥύσηται.

Καὶ νῦν. Θεοτοκίον.

Μεσοπαντήτισσα Παρθένε Μαρία, τῶν οἰκτιρμῶν σου τὸν ἀκένωτον πλοῦτον, ἐκ τῆς σεπτῆς λαμβάνοντες Εἰκόνος σου ἀεί, ᾄδομεν τῇ δόξῃ σου, χαριστήριον αἶνον, χαῖρέ σοι κραυγάζοντες, τοῦ Κυρίου ἡ Μήτηρ· μὴ οὖν στερήσῃς Κόρη σὸν λαόν, τῆς μητρικῆς σου εὐνοίας καὶ χάριτος.

Εἶτα· οἱ Ἀναβαθμοὶ τοῦ τυχόντος ἤχου καὶ ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου.

Ἀκολούθως ὁ ἀναστάσιμος Κανὼν τοῦ τυχόντος ἤχου καὶ ὁ Κανὼν τῶν Ἁγίων. Κανὼν πρῶτος τῶν Ἁγίων, ἄνευ Ἀκροστιχίδος. Ποίημα Κυρίλλου Ἱερομονάχου.

Ὠδὴ αʹ. Ἦχος αʹ. Ὠδὴν ἐπινίκιον.

Χορὸν εὐφημήσωμεν, τῶν ἐν τῇ Κρήτῃ, Ἁγίων φιλέορτοι, Θεὸν δοξάζοντες, ὡς ἐν αὐτοῖς θαυμαστόν, καὶ θαυμαστώσαντα αὐτούς, δόξῃ τῇ ἄνωθεν.

Ἐθνῶν ὁ Ἀπόστολος, Παῦλος ὑμνείσθω, καὶ Τίτος ὁ ἔνθεος, αὐτοῦ συνέκδημος, οἱ γνώσεως τοῦ Θεοῦ, ἐν Κρήτῃ φῶς τὸ μυστικόν, ἐξανατείλαντες

Λουκᾶν καὶ Ἀρίσταρχον, Ζηνᾶν τὸν θεῖον, σὺν Κάρπῳ τιμήσωμεν, Ἀπολλὼ ἅπαντες, καὶ Ἀρτεμᾶν τὸν σοφόν, ὅτι ἐν Κρήτῃ τοῦ Χριστοῦ, ὤφθησαν κήρυκες.

Γορτύνης ἐδείχθητε, καλοὶ ποιμένες, Εὐμένιε Φίλιππε, Πέτρε σὺν Μύρωνι, Εὐτύχιε θαυμαστέ, καὶ Κύριλλε ὡς τὸν Χριστόν, ἐκμιμησάμενοι.

Ἀνδρέαν τῆς χάριτος, ὡς μουσουργέτην, τὸν κράτιστον Ἄνθιμον, ὡς στεῤῥὸν Μάρτυρα, καὶ Πινυτὸν τῆς Κνωσοῦ, ὡς φίμωτρον αἱρετικῶν, ὑμνολογήσωμεν.

Θεοτοκίον.

Φρικτῶς ἐσωμάτωσας, Πατρὸς τὸν Λόγον, καὶ τοῦτον ἐξέθρεψας, σῶν μαζῶν γάλακτι, ᾧ πρέσβευε ἐκτενῶς, Γαλακτοτρόφε ἀγαθή, σῶσαι τὴν ποίμνην σου.

Κανὼν δεύτερος τῶν Ἁγίων, φέρων Ἀκροστιχίδα τήνδε· «Ταπεινοῦ Ἱερέως σέβας Κρητῶν Ἁγίων. Εὐ(αγγέλου)». Ποίημα Εὐαγγέλου Ἱερέως.

Ἦχος δʹ. Ἀνοίξω τὸ στόμα μου.

Τριὰς ὑπεράρχιε, τὸν νοῦν μου φώτισον δέομαι, καὶ γλῶσσάν μου τράνωσον, ὅπως ἀξίως κἀγώ, ὁ ἀνάξιος, Ἁγίων τῶν ἐν Κρήτῃ, ὑμνήσω τὸ σύστημα, ἀγαλλιώμενος.

Ἁγίων συστήματα, ἡ νῆσος Κρήτη ἐξέθρεψε, τὸν θρόνον τοῦ Ἄνακτος, περικυκλοῦντα τανῦν, τοῦ Θεοῦ ἡμῶν, ἐξ οὗ πάντες αἰτοῦμεν, ψυχῆς τε καὶ σώματος, τὴν καθαρότητα.

Πρεσβείαν ποιήσατε, πρὸς τὸν Δεσπότην τῆς κτίσεως, θεόστεπτοι Ἅγιοι, οἱ ἐν τῇ Κρήτῃ καλῶς, διαπρέψαντες, ἐν χρόνοις διαφόροις, ὡς ἂν

χάριν εὕρωμεν, καὶ θεῖον ἔλεος.

Θεοτοκίον.

Εἰκόνα σὴν ἄχραντον, Ἀντιφωνήτρια Δέσποινα, ὡς σκεῦος πολύτιμον, τῶν χαρισμάτων τῶν σῶν, ἡ Κρητόνησος, ἡ εὔανδρος κατέχει, ἐξ ἧς ἀπαρύεται, ἀεὶ τὴν χάριν σου.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Λίθον ὃν ἀπεδοκίμασαν.

Τίτου ζήλῳ ἑπόμενοι, τῇ διδασκαλίᾳ, ἤθλησαν ἐν Κρήτῃ, ἐν διαφόροις χρόνοις, τῆς πίστεως δυνάμει, ἀήττητοι Μάρτυρες, ἐν οἷς οἱ Δέκα θαυμαστῶς, οἷα φωστῆρες ὑπερλάμπουσι.

Δέκα ὄντες κατενίκησαν, τὰς ἀπειραρίθμους, φάλαγγας δαιμόνων, ἀθλητικῇ ἀνδρείᾳ, τῷ ξίφει ἐν Γορτύνης, τῇ πόλει ἀθλήσαντες, μὴ ἀρνησάμενοι Χριστόν, ὡς Λυτρωτὴν ἡμῶν καὶ Κύριον.

Θείῳ ζήλῳ στρατευσάμενοι, Βασιλεῖ τῷ μόνῳ, οἷα στρατιῶται, μαρτυρικῆς στρατείας, οἱ δώδεκα ἐν ἄθλοις, στερέμνιοι ὤφθησαν, καὶ τῶν εἰδώλων τὴν ὀφρύν, νικητικῶς καταπεπάτηκαν.

Μάρθαν Θέκλαν Μαριάμνην τε, Ἐνναθᾶν Μαρίαν, στέψωμεν ᾀσμάτων, περιχαρῶς στεφάνοις· ἀσκήσει γὰρ τὸ πρῶτον, ἀθλήσει ἐσύστερον, νυμφίον εὕραντο Χριστόν, τὸν Λυτρωτὴν ἡμῶν οὐράνιον.

Χαίροις ἔνδοξε Θεόφιλε, σὺν τῇ ὁμοζύγῳ, θύματα Κυρίῳ, σὺν ἑαυτοῖς τὰ τέκνα, Μαρτύρων εὐσθενείᾳ, ἐνθέως προσάξαντες, μὴ ἀπονείμαντες τιμήν, γλυπτοῖς εἰδώλοις ὡς ἐχέφρονες.

Θεοτοκίον.

Ὄλβον ἔχει ἀναφαίρετον, καύχημα καὶ γέρας, πλοῦτον καὶ τρυφήν τε, ὦ Ὀρφανὴ Παρθένε, Μονὴ τῆς Ἀγκαράθου, τὴν θείαν Εἰκόνα σου, ἀναβλυστάνουσαν πιστοῖς, τῶν οἰκτιρμῶν σου τὰ δωρήματα.

Κανὼν δεύτερος. Τοὺς σοὺς ὑμνολόγους.

Ἰσχὺς καὶ ὀχύρωμα τῆς Κρήτης, ὑπάρχετε Ἅγιοι ἐχθρῶν, τὰς κάρας ὡς συνθλάσαντες, ἀλλ᾽ ὡς τούτων γνωρίζοντες, κατὰ λεπτὸν τὰ ἔνεδρα, ἡμῶν τὸν βίον φυλάξατε.

Νόμοις σου πειθόμενοι ἐν πᾶσι, οἱ Ἅγιοι Σῶτερ ἐν τῇ γῇ, τὰ γεηρὰ ἀπώσαντο, καὶ τῷ φωτὶ τῆς χάριτος, σαφῶς χειραγωγούμενοι, τὴν οὐρανοῦ δόξαν εἵλοντο.

Οἱ Ἅγιοι πάντες οἱ τῆς Κρήτης, ὡς νόες οὐράνιοι σαφῶς, τὰ τῶν Ἀγγέλων τάγματα, ζηλώσαντες ἐλάμπρυναν, τὴν Ἐκκλησίαν ἅπασαν, τῶν ἀρετῶν τοῖς πυρσεύμασιν.

Θεοτοκίον.

Ὑμνῶ σε Παρθένε Θεοτόκε, ἀεὶ βρεφοτρόφον σε καλῶ, Μητέρα ὀνομάζω σε, ἀεὶ χειραγωγοῦσάν μου, τὰς προσευχὰς πρὸς Κύριον, ὑπὲρ βρεφῶν Θεονύμφευτε.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Εἶτα, τὸ ἀναστάσιμον Κοντάκιον καὶ ὁ Οἶκος, χῦμα.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Εὐφραίνου ἡ λαμπρά, κληρουχία τοῦ Τίτου, τελοῦσα τῶν ἐν σοί, θεοφόρων Ἁγίων, τὴν μνήμην τὴν πανεύσημον, καὶ Χριστῷ πίστει βόησον· πολυεύσπλαγχνε, εὐχαῖς τῶν σῶν θεραπόντων, δίδου ἅπασι, τῶν οἰκτιρμῶν σου τὸν πλοῦτον, καὶ ἔλεος ἄνωθεν.

Δόξα Πατρί. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φωστῆρες ὑπάρχοντες, τῆς εὐσεβείας φαιδροί, τὴν Κρήτην ηὐγάσατε, τῆς πολιτείας ὑμῶν, τῇ θείᾳ λαμπρότητι· Ὅθεν ὑμᾶς τιμῶμεν, ἐν ψαλμοῖς γηθοσύνως, ᾄδοντες τῷ Κυρίῳ, ἀκατάπαυστον αἶνον, τῷ ὄντως θαυμαστῷ ἐν ὑμῖν, ὡς γέγραπται Ἅγιοι.

Θεοτοκίον.

Ἀνέστη τριήμερος, ὁ διὰ σοῦ σαρκωθείς, καὶ ᾍδου κατέλυσεν, ἐν τῇ ἐγέρσει αὐτοῦ, Ἁγνὴ τὰ βασίλεια· ἔσωσεν ἐκ θανάτου, τῶν ἀνθρώπων τὸ γένος, πᾶσι τε ἀφθαρσίας ἐδωρήσατο χάριν· διό σε ὡς Μητέρα αὐτοῦ, ἀεὶ μακαρίζομεν.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Ἐν Πνεύματι προβλέπων.

Ἡ πόλις Ἡρακλείου, προστάτην κραταιόν, στεῤῥὸν πολιοῦχόν σε, πλουτεῖ μάρτυς Μηνᾶ, καὶ τῷ ναῷ σου προστρέχουσα εὐχαρίστως, σῶν θαυμασίων τὴν πληθὺν ἀνακηρύττει, χαίροις στρατηλάτα βοῶσά σοι.

Ἐν χρόνοις τῆς δουλείας, λαοῦ τοῦ εὐσεβοῦς, ἐκλεινὲ Ἀθανάσιε, Μελέτιε σοφέ, σὺν τῷ Κυ-

ρίλλῳ προέστητε ἐν μιμήσει, τοῦ σταυρωθέντος δι' ἡμᾶς παρ' οὗ τὰ γέρα, τῆς ἀθανασίας ἐδέξασθε.

Φιλόχριστος ὡς ἄναξ, τῆς Κρήτης τὸν λαόν, δουλείας ἀπήλλαξας, πικρᾶς Σαρακηνῶν· Σταυροῦ τῷ ὅπλῳ γὰρ πέποιθας Νικηφόρε, ὡς εὐσεβείας στρατηγὸς τοῖς φερωνύμοις, ἔργοις σου ἐκλάμπων ὡς ἥλιος.

Τῆς πίστεως τῷ λόγῳ, Ὁσίων ἡ τριάς, τοῦ Τίτου τὴν ἄρουραν, ἐνέωσε καλῶς, τῆς μετανοίας ὁ κῆρυξ Νίκων ὁ πάνυ, καὶ Ἰωάννης ὁ κληθεὶς ἐν Κρήτῃ Ξένος, σὺν Ἀθανασίῳ τῷ μάκαρι.

Ἐτράνωσαν δι' ἄθλων, Εἰκόνων τὴν τιμήν, ὁ μέγας Ἀνδρόνικος, καὶ Παῦλος ὁ σοφός, σὺν τῷ στεῤῥῷ δὲ Ἀνδρέᾳ τῷ ἐν τῇ Κρίσει, καὶ τοῦ Στουδίου τῆς Μονῆς ὁ καθηγέτης, ὁ δεδοξασμένος Νικόλαος.

Θεοτοκίον.

Κατέλιπεν ὡς κλῆρον, τῆς Κρήτης τῷ λαῷ, ὡς σκήνωμα πάντιμον, τῆς δόξης σου Ἁγνή, ὁ Ἰωάννης ὁ Ξένος τὴν σὴν Εἰκόνα, ἐξ ἧς ἐκβλύζει εὐσπλαγχνίας σου τὸ ῥεῖθρον, ὦ Ἀντιφωνήτρια ἄχραντε.

Κανὼν δεύτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Ἱερεῖς τε καὶ Ποιμένες, οἱ σεμνῶς ἐνδυσάμενοι, τὴν ἱερωσύνην, ταύτην ἐλογίσαντο στέφανον, μεταμορφώσεως δόξαν, καὶ λαμπρότητα· διὸ ἄριστα, ἐνταῦθα ἐπολιτεύθησαν.

Εὐφραινόμενοι ἐνθέως, οἱ ἀήττητοι Μάρτυρες, τὸν Σταυρὸν ἐπ' ὤμων, ἄραντες Χριστῷ ἠκολούθησαν, καὶ τὸ αὐτοῦ θεῖον πάθος ἐμιμήσαντο, γενναιότατα, φόβῳ βασάνων μὴ πτήξαντες.

Ῥαβδισμούς τε οἱ γενναῖοι, τοῦ Χριστοῦ Νεομάρτυρες, πῦρ ἀγχόνην ξίφος, πάντα ἐλογίσαντο σκύβαλα, καὶ ὑπὲρ φύσιν βασάνους καθυπέμειναν, δι' ὧν εὕραντο, δόξαν καὶ χάριν αἰώνιον.

Θεοτοκίον.

Ἐξυμνῆσαί σου Παρθένε, μεγαλεῖα τίς δύναται; σκέπη καὶ προστάτις, πάντων σὺ ὑπάρχεις ἑκάστοτε, τῶν προστρεχόντων ἐν πίστει τῇ πρεσβείᾳ σου· διὸ κράζομεν· χαῖρε ἡμῶν ἡ ἀντίληψις.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Κανὼν πρῶτος. Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

Ἀστέρες καθάπερ, ἀσκήσει στεῤῥᾷ, ἐν τῇ Κρήτῃ ὁσίως ἐξέλαμψαν, Μεθόδιος Νικόλαος, Κοσμᾶς καὶ Ἰωσήφ, ὁ τοῦ ἡγιασμένου, λαβὼν ἀξίως κλῆσιν, Ἰωσήφ τε ἕτερος, Μονῆς Καψᾶ κτίτωρ ὁ ἔνθεος.

Διδάσκαλος ὤφθη, σοφὸς προσευχῆς, μαθητὰς θεοφόρους κτησάμενος, Γρηγόριον Γεράσιμον, ἐξ ὄρους τοῦ Σινᾶ, φθάσαντας ἐν τῇ Κρήτῃ, Ἀρσένιος ὁ πάνυ, ὁ καθάπερ Ἄγγελος, ἐν τῇ Ἁγίων ζήσας φάραγγι.

Κυρίου ἐπ' ὤμων, στεῤῥῶς τὸν ζυγόν, ἐν ἐσχάτοις τοῖς χρόνοις ἐβάστασαν, Αὐτάδελφοι οἱ ὅσιοι, οἱ ἐν τῷ Κουδουμᾷ, καὶ Καλυβιανῆς τε, τὸ κλέος Χαραλάμπης, σὺν αὐτοῖς Ἀκάκιος, καὶ ὁ Βυζάντιος Γεράσιμος.

Ἀγγέλων τὸν τρόπον, μετῆλθε σαφῶς, ὁ κλεινὸς ἐν Ἀκρίτᾳ Γρηγόριος, ἐν Ῥάξῳ δὲ ἐξήστραψεν, ὁ Εὐτυχιανός, σὺν τῇ Κασσιανῇ τε, τῇ νύμφῃ τοῦ Κυρίου, ὧν εὐχαῖς φρουρούμενοι, ὕμνον αὐτοῖς τερπνὸν προσοίσωμεν.

Ὁσίων χορείας, σοφὴ κεφαλή, Ἰωάννη ἐδείχθης μακάριε, καὶ Νεῖλος ἄλλος πέφηνας, ἀρδεύων μυστικῶς, οὐχ Αἴγυπτον παμμάκαρ, ἀλλὰ Κρήτης τὴν νῆσον, οὐρανίοις νάμασι, σῆς φερωνύμου θείας χάριτος.

Θεοτοκίον.

Ἐλέους ἐκβλύζει, τὰ ῥεῖθρα ἡμῖν, Ἐλεοῦσα ὡς κρήνη ἀκένωτος, Εἰκών σου ἡ πανσέβαστος, ἣν πόθῳ σχετικῶς, Παρθένε προσκυνοῦντες, βοῶμεν ὁμοφώνως· χαῖρε Μῆτερ πάναγνε, πάντων ἀνθρώπων καταφύγιον.

Κανὼν δεύτερος. Ἐξέστη τὰ σύμπαντα.

Ὡραίως ἐβάδισαν, πόδες ὑμῶν Ἀπόστολοι, ὡς οἱ τοῦ Δεσπότου ἐν τῷ κόσμῳ, ἐπὶ βημάτων, ὡς ἔφη Κύριος, θέσαντες τὴν χεῖρα σταθηράν, ὡς ἐπὶ τὸ ἄροτρον, καὶ ψυχὰς ἐμορφώσατε.

Συνέσει ἐκλάμπουσαι, καὶ ἀρετῶν λαμπρότησιν, ἔλαβον τὰ γέρα ἐκ Κυρίου, αἱ γυναικῶν τε, ὑπερανδρεῖαι ψυχαί, αἵτινες θανεῖν ἀντὶ τοῦ ζῆν, ὄντως ἐξελέξαντο, τῇ δυνάμει τῆς πίστεως.

Σκιρτήσωμεν πνεύματι, ἡ Κρήτη πᾶσα χόρευε, ἐν τῇ τῶν Ἁγίων σου Συνάξει· παρὰ Χριστοῦ

www.tezaurliturgic.ro

γάρ, λαμπρῶς δεδόξασαι, ὤφθης καθημένη οὐρανῷ, ὅλη ἐξαστράπτουσα, ταῖς μορφαῖς τῶν Ἁγίων σου.

Θεοτοκίον.

Εὐφραίνου Θεόνυμφε· ἐν σοὶ γὰρ μεγαλύνονται, ἅπασαι παρθένοι καὶ μητέρες, ὥσπερ ὡς Μήτηρ, τρέφεις καὶ θάλπεις ἀεί, γάλακτι ἐνθέων ἀρετῶν, ὡς θεοχαρίτωτος, καὶ Παρθένος ἀμόλυντος.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Κανὼν πρῶτος. ᾨδὴ στ΄. Τὸν προφήτην Ἰωνᾶν.

Ἐκ Ῥεθύμνης προελθών, ἐν τῇ Μάνδρᾳ τοῦ Σινᾶ, ἐξανέτειλε φαιδρός, ὁ Ἰγνάτιος φωστήρ, καὶ Νίκανδρος, καλῶς σὺν τούτῳ, ἅμα ἠγώνισται.

Ὑμνογράφων κορωνίς, ἀνεδείχθη Ἰωσήφ, καὶ Λεόντιος Σιών, ποιμενάρχης θαυμαστός, καὶ Σέργιος, ὁ ἐκ Μαγίστρων, τύπος ἀσκήσεως.

Καθηγίασε Κρητῶν, ὁ Γεράσιμος τὴν γῆν, καὶ ἐν ταύτῃ ἀρετῆς, τὸν ἀγῶνα ὑπελθών, καὶ Ἄνθιμος, πίστεως κῆρυξ, τῇ νήσῳ γέγονε.

Ὁ σοφὸς Μεταφραστής, εὐφημείσθω Συμεών, Ἀθανάσιος ὁμοῦ, Μετεώρων ὁ πυρσός, σὺν τούτοις δέ, Νεῖλος τιμάσθω, ὁ Ἐρικούσιος.

Ἀσεβῶν Ἀγαρηνῶν, πᾶσαν ᾔσχυναν ὀφρύν, Ἡρακλείου οἱ υἱοί, Ἱλαρίων ὁ κλεινός, καὶ Μύρων τε, ὁ δι᾽ ἀγχόνης, ἀθλήσας ἄριστα.

Θεοτοκίον.

Ἐν μυρσίνης τῷ φυτῷ, τὴν Εἰκόνα σου οἰκεῖν, ᾑρετίσω θαυμαστῶς, Θεομῆτορ Μαριάμ, πηγάζουσα, ἐκεῖθεν πᾶσι, χάριν σωτήριον.

Κανὼν δεύτερος. Τὴν θείαν ταύτην.

Βαβαὶ ἰσχύος ἣν δέδωκε, Χριστὸς τοῖς Ἱερεῦσι καὶ Μάρτυσι, δι᾽ ἧς ἐνίκησαν, τῶν ἀσεβῶν τὰ φρυάγματα, καὶ τῶν δημίων γνώμην, πολλάκις ἤλλαξαν.

Ἀγάπῃ πάντων ὁ ὅμιλος, Ἁγίων ἐν Χριστῷ ἐνηδόμενος, ἐν καθαρότητι, χορείαν τὴν ἀκατάλυτον, σὺν τοῖς Ἀγγέλοις ἄνω, χορεύει πάντοτε.

Σαρκὸς οὐδόλως ἐκύψατε, ἀζύγων στρατιαὶ τῷ θελήματι, ἀλλὰ στεῤῥότητι, καὶ πανανδρείᾳ φρονήσεως, τῆς παρθενίας στῆλαι, λαμπραὶ ἐδείχθητε.

Θεοτοκίον.

Κατεύνασόν μου Θεόνυμφε, τὸν κλύδωνα ψυχῆς μου τὸν ἄστατον, τῇ μεσιτείᾳ σου, καὶ κυβερνήτην τὸν Κύριον, ἐν τῇ ἐμῇ καρδίᾳ, δὸς Ἀειπάρθενε.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.
Εὐαγγέλου Ἱερέως.

Ὥσπερ λειμῶνα πάντερπνον, τῶν δωρεῶν τοῦ Πνεύματος, ἡ Ἐκκλησία τῆς Κρήτης κατέχουσα, τοὺς ἐν αὐτῇ ἐκλάμψαντας, θεοφόρους Ἁγίους, τῇ Συνάξει αὐτῶν σεμνῶς ἐπαγάλλεται, Τριάδι τῇ Ἁγίᾳ, κραυγάζουσα· Ἀλληλούϊα.

Ἕτερον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Εὐαγγελίου τοὺς καρποὺς ἀνευφημήσωμεν,
Κρητῶν Ἁγίων τὸν χορὸν τὸν θεοσύστατον,
ὡς γεώργια τοῦ Τίτου τοῦ ἀρχιθρόνου·
παῤῥησίαν γὰρ πλουτοῦντες διασῴζουσι,
ἀπὸ πάσης συμφορᾶς καὶ περιστάσεως,
τοὺς κραυγάζοντας· χαίροις τίμιον ἄθροισμα.

Ὁ Οἶκος.

Ἅπαντες οἱ τῆς Κρήτης, παροικοῦντες τὴν νῆσον, τιμήσωμεν Ἁγίων τὸν δῆμον, τοὺς ἐνταῦθα Χριστὸν τὸν Θεόν, ἐν διαφόροις καιροῖς μεγαλύναντας, ὁμοφροσύνῃ πίστεως, καὶ πρὸς αὐτοὺς εἴπωμεν ταῦτα·

Χαῖρε Ἁγίων ἡ συνοδεία·
  χαῖρε Δικαίων ἡ συναυλία.
Χαῖρε Ἐκκλησίας λαμπρὸν ἀγαλλίαμα·
  χαῖρε Κρητονήσου τερπνὸν ἐγκαλλώπισμα.
Χαῖρε ἄθροισμα οὐράνιον εὐκλεῶν Ἱεραρχῶν·
  χαῖρε σύστημα πανάριστον Ἀθλοφόρων ἱερῶν.
Χαῖρε ἡ τῶν Ὁσίων πανολβία χορεία·
  χαῖρε Νεομαρτύρων ἡ κλυτὴ συστοιχία.
Χαῖρε χαρίτων πλοῦτος ἀσύλητος·
  χαῖρε θαυμάτων βρύσις ἀκένωτος·
Χαῖρε Κρητῶν μυστικὴ δαδουχία·
  χαῖρε ἡμῶν πρὸς Θεὸν μεσιτεία.
Χαίροις τίμιον ἄθροισμα.

Μηνολόγιον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν τῇ νήσῳ Κρήτῃ διαλαμψάντων Ἁγίων, τῶν ἐξ αὐτῆς καταγομένων καὶ τῶν ἀλλαχόθεν ἐν αὐτῇ ἀγωνισθέντων καὶ τελειωθέντων.

Στίχοι.

Κρήτη χορεύει τιμῶσα ἐγκωμίοις
Τίμιον δῆμον Ἁγίων θεοφόρων.

Κρήτη λιγαίνει χορὸν Ἁγίων πανευκλεῶν.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οἱ Παῖδες εὐσεβείᾳ.

Ἐφέσῳ ἐν τῇ Νέᾳ Ἰωάννης, μιμητὴς ἐγένετο Μαρτύρων γνήσιος· στεῤῥῶς Μανουὴλ δυνάμει πίστεως, εὐσεβείας τὴν ὁδόν, ἐν Χίῳ ἤνυσεν, οὓς ὡς Σφακίων τερπνὰ ἄνθη τιμῶμεν.

Μαρτύρων τετρακτὺς τῶν ἐκ Μελάμπων, Μανουὴλ Νικόλαος καὶ ὁ Γεώργιος, σὺν τῷ Ἀγγελῇ ἐν πόλει ἤθλησαν, τῆς Ῥεθύμνης κραταιῶς, ἀμνοὶ ὡς ἄκακοι, σφαγιασθέντες ἐχθρῶν τῇ ἀπονοίᾳ.

Ματθαῖος ὁ βλαστὸς Γερακαρίου, ὁ τῆς Λάμπης Ἄγγελος, θεῖος Μεθόδιος, καὶ ὁ ἐκ Κριτσᾶς νίκης φερώνυμος, ἀθλητὴς τοῦ Ἰησοῦ, τὸ φῶς ἀπήστραψαν, τῆς εὐσεβείας ἐν δύσει μαρτυρίου.

Μαρία ἐν Φουρνῇ ἐπὶ τοῦ δένδρου, ὡς πτηνὸν τῆς πίστεως, βλήματι τέθυται, καὶ Ἀλικιανοῦ τὸ ἐγκαλλώπισμα, ὁ Γεώργιος Θεοῦ, τερπνὸν γεώργιον, τῇ τῶν μελῶν κατατμήσει κόσμῳ ὤφθη.

Ὁ Μᾶρκος ἐν τῇ Σμύρνῃ μαρτυρίῳ, πρώην ὅπερ πέπονθε, πτῶμα ἠνώρθωσεν, καὶ ὁ Γεδεὼν ἐχθροῦ διέλυσε, τὰς δολίας μηχανάς, ὡς καρτερόψυχος, ἐν τῷ Τυρνάβῳ ἐνδόξως μαρτυρήσας.

Θεοτοκίον.

Εἰκών σου ἡ σεπτὴ αἰθεροβάμων, ἐπανῆκε πρόπαλαι, ἐκ τῆς τοῦ Βύζαντος, ἐν τῇ σῇ Μονῇ Ἁγνὴ πλουτίζουσα, τὰς καρδίας τῶν πιστῶν, πλούτῳ σῆς χάριτος, ἧς νῦν ἡμεῖς τὸ Ἐκτύπωμα τιμῶμεν.

Κανὼν δεύτερος. Οὐκ ἐλάτρευσαν.

Ῥῶσιν Ἅγιοι, ἀείποτε παρέχετε, τοῖς μετὰ πίστεως, προσερχομένοις θερμῆς, καὶ πόθῳ προσπίπτουσι, γονάτων κλίσεσι, καὶ κραυγάζουσι· χαῖρε χορεία πάντιμε, τῶν ἐν Κρήτῃ Χριστοῦ φίλων.

Ἡ ὁμόζυγος, δυὰς τὸν ὑπαχεύνιον, σαρκικὸν ἔρωτα, τῆς συζυγίας ζυγῷ, πολλάκις συνήρμοσε· σταυρῷ ἀσκήσεως, ἐλαφρότατον, ὁ Κύριος ἀνέδειξε, τῇ τοῦ κρείττονος ἀγάπῃ.

Τὸ χαμαίζηλον, σαρκὸς ἅπαν τε φρόνημα, καθυπετάξατε, τῆς ἀπαθείας νοΐ, ἀζύγων τὰ τάγματα, καὶ γαμετῶν ὁμοῦ, ἀνωνύμων τε, καὶ ἐπωνύμων ἔχοντες, τὸν Χριστὸν ὡς νυμφευτῆρα.

Θεοτοκίον.

Ὢ Πανάχραντε, κατάραν προαιώνιον, λύσασα τόκῳ σου, λῦσον κἀμὲ τῶν παθῶν, καὶ ῥῦσαι κολάσεως, καὶ τῆς γεέννης με, τὸν κατάκριτον, τῷ δὲ φωτὶ τῆς χάριτος, σκέπασόν με τοῦ Υἱοῦ σου.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Ὃν φρίττουσιν Ἄγγελοι.

Τιμάσθω ἐν ᾄσμασι, φαιδρῶς Ἐμμανουήλ, καὶ τούτου ἡ σύμβιος, σὺν τέκνοις τοῖς δυσί, ἐκ Μελισσουργείου, οἱ φανέντες πυρσοί, τῇ φωταγωγίᾳ, ἀλκίμου μαρτυρίου.

Μηνᾶν ἐκμιμούμενος, τὸν μέγαν ἀθλητήν, ὁ Κρήτης Γεράσιμος, αὐτοῦ ἐν τῷ ναῷ, ἐπίσημος ὥσπερ, εὐσεβείας κριός, ἐτύθη μανίᾳ, ἐχθρῶν τῶν ἀλλοφύλων.

Κνωσοῦ ὁ Νεόφυτος, καὶ ὁ Μελχισεδέκ, Κισάμου τὸ κλέϊσμα, σὺν τῷ Ἰωακείμ, τῆς Πέτρας ἀνδρείως, ὁ Σητείας ποιμήν, θεῖος Ζαχαρίας, ἠρίστευσαν δι' ἄθλων.

Λαμπρῶς Ἱερόθεος, τῆς Λάμπης ὁ φωστήρ, Ῥεθύμνης Γεράσιμος, σὺν τῷ Ἰωακείμ, τῷ τῆς Χεῤῥονήσου, ὡς ἀστέρες φαιδροί, ἤστραψαν ἀθλήσει, ἐν σκότει τῆς δουλείας.

Ἐδείχθη καλλίνικος, Μαρτύρων ἐν χορῷ, ὁ τῆς Διοπόλεως, Ἐπίσκοπος σαφῶς, σὺν τῷ Κυδωνίας, ὁμωνύμῳ αὐτοῦ, θείῳ Καλλινίκῳ, χερσὶ ἐχθρῶν τυθέντες.

Θεοτοκίον.

Μοχὸς τῆς προνοίας σου, τεκμήριον λαμπρόν, κατέχει τὴν ἄχραντον, Εἰκόνα σου ἁγνή, τὴν φανερωθεῖσαν, παραδόξως ἐκ γῆς, Μῆτερ τῶν λαγόνων, σεπτῇ σου ἐπινεύσει.

Κανὼν δεύτερος. Παῖδας εὐαγεῖς.

Νέων ἐκτιμῶντες τὰς χορείας, μεγάλα ἐκτελεσάντων ἆθλα ἔνδοξα, σέβομεν νεάνιδας, αἵτινες τοῦ θήλεος, τὸ ἀσθενὲς ἐν χάριτι, ὡς ἀποῤῥίψασαι, ἀγλάϊσμα ἐδείχθησαν κόσμῳ, ὀφθεῖσαι

γενναῖαι, ἐν στάσει μαρτυρίου.

Ἀγάπῃ τῇ θείᾳ ἐκφλεχθέντα, Ἁγίων τῶν ἐν τῇ Κρήτῃ τὰ συστήματα, στρατιαὶ αἰώνιοι, ὤφθησαν τῆς πίστεως, ὅτι ἰδίῳ ἕκαστος, τρόπῳ ἠγάπησε, Χριστὸν τὸν ἀγαπήσαντα πρῶτον, γένος τῶν ἀνθρώπων, δι' ἄκραν εὐσπλαγχνίαν.

Γέγηθεν ἡ Κρήτη καὶ χορεύει, Ἁγίων τὴν πολυσύνθετόν τε Σύναξιν, καὶ λαμπρὰν πανήγυριν, πόθῳ ἑορτάζουσα, Ἱεραρχῶν τὸν ἔνδοξον, δῆμον γεραίρουσα, Ὁσίων τε Μαρτύρων χορείας, τύπων ἔργων θείων, δειχθέντων ἐν τῷ κόσμῳ.

Θεοτοκίον.

Ἴασαι Ἁγνὴ τὰ τραύματά μου, ἃ ἔχει μοι ἐπιφέρει ἡ ἀμέλεια, καὶ κακῶν συνήθεια· διό σοι προσέρχομαι, καὶ ἐν θερμοῖς τοῖς δάκρυσιν, αἰτῶ μετάνοιαν, καὶ ἄφεσιν αἰσχρῶν μελημάτων, ἵνα ὡς αἰτίαν, ὑμνῶ σε σωτηρίας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Κανὼν πρῶτος. Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

Ὅτε κρυμὸς τῆς δουλείας, δεινῶς ἐν Κρήτῃ ἐκράτει, τότε ἐχθρῶν ἐπιδρομάς, ψυχικῇ ἐν ἀνδρείᾳ, πληθὺς ὁσίων Μοναστῶν, ὑπέμεινε καὶ χαίρουσα ἔπιε, μαρτυρίου τὸ πόμα, τῇ ἐλπίδι τῆς ἀμείνονος ζωῆς.

Τοὺς συναθλήσαντας πίστει, ἐν τῆς δουλείας τοῖς χρόνοις, τῷ Γερασίμῳ τῶν Κρητῶν, σεβασμίῳ προέδρῳ, καὶ Ἐπισκόπων τῷ χορῷ, προκρίτους Ἱερεῖς ἰδιώτας τε, μακαρίσωμεν πάντες, ὡς Μαρτύρων θεοσύλλεκτον χορόν.

Τοὺς ἐν τῇ Κρήτῃ Ἁγίους, τοὺς ἐν καιροῖς διαφόροις, ἁγιωσύνης τοὺς καρπούς, ἀρετῶν γεωργίᾳ, καρποφορήσαντας καλῶς, συμφώνως ἐν ὕμνοις εὐφημήσωμεν, ὡς ἂν πάσης ἀνάγκης, λυτρωθῶμεν παρακλήσεσιν αὐτῶν.

Σὺν Ἀποστόλοις ἁγίοις, σὺν τοῖς σοφοῖς Ἱεράρχαις, σὺν τῶν Μαρτύρων τῷ χορῷ, σὺν Ὁσίων τῷ δήμῳ, καὶ Νεοάθλων τῇ σειρᾷ, ἀρχίθρονε Τίτε καθικέτευε, τὸν Δεσπότην τοῦ κόσμου, ὑπὲρ ποίμνης τῆς ἁγίας σου ἀεί.

Ἐπιδρομῆς ἀλλοφύλων, λιμοῦ σεισμοῦ καὶ λοιμοῦ τε, λύμης αἱρέσεων δεινῶν, ἀσεβείας τῆς πλάνης, καὶ ἁπάντων χαλεπῶν, κινδύνων ἀλώβητον τηρήσατε, θεοφόροι τὴν νῆσον, καυχωμένην ἐν Κυρίῳ ἐφ' ὑμᾶς.

Θεοτοκίον.

Θεοκυῆτορ Μαρία, σὺν τῶν ἐν Κρήτῃ Ἁγίων, παρεμβολῇ τῇ θαυμαστῇ, τῷ ἐκ σοῦ σαρκωθέντι, πρέσβευε πάντοτε θερμῶς, πυρὸς τῆς γεέννης ἵνα ῥύσηται, τοὺς ὑμνοῦντάς σε πόθῳ, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

Κανὼν δεύτερος. Ἅπας γηγενής.

Ὢ τῶν ὑπὲρ νοῦν, τοῖς ἄνω στρατεύμασι, πῶς ἠριθμήθησαν, σκεύη φθαρτὰ πήλινα! ἅτινα ὄντως μετεμορφώθησαν, δι' ἀρετῶν ἀσκήσεως, καὶ θείας νήψεως, τὸ ἀρχαῖον κάλλος ἐνδυσάμενα, χρυσωθέντα φωτί τε τοῦ Πνεύματος.

Νάματα ζωῆς, τῆς ἄνω δωρήσατε, Κρήτης οἱ Ἅγιοι, πᾶσι τοῖς προστρέχουσιν, ὑμῶν λειψάνοις, ψυχῆς ἐν δάκρυσι, δι' ὧν καὶ μύρα χάριτος, τοῖς πᾶσι νέμετε, νοσημάτων χαλεπῶν λυτρούμενοι, καὶ κινδύνων ἡμᾶς ἐξαιρούμενοι.

Ἔλαμψαν ἡμῖν, τὴν Κρήτην λαμπρύνοντες, πάντες οἱ Ἅγιοι, ἐν τῷ στερεώματι, τῆς Ἐκκλησίας καὶ ἐν φρονήματι, ἀπεριτρέπτῳ δόγμασι, σαφῶς στηρίζοντες, τὰς καρδίας τῶν πιστῶν ἐν χάριτι, τῆς Τριάδος τῇ πίστει πρεσβεύοντες.

Θεοτοκίον.

Ὕπερθεν ἡμῶν, δεινῶν καὶ κακώσεων, σῇ κραταιᾷ χειρί, ἆρον τὰ βουλεύματα, τοῦ τυραννοῦντος γένος ἀνθρώπινον, καὶ μητρικῇ πρεσβείᾳ σου, πάντας διάσωζε, ἵνα πόθῳ μέλπωμέν σοι Ἄχραντε· χαῖρε κόσμου Σωτῆρα ἡ τέξασα.

Καταβασία. Ἅπας γηγενής.

Εἶτα τὸ ἀναστάσιμον Ἐξαποστειλάριον καὶ τὸ τῶν Ἁγίων.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὥσπερ φωστῆρες πάμφωτοι, τῇ τοῦ Τίτου καθέδρᾳ, σήμερον ἐξανέτειλαν, τοῦ ἀδύτου Ἡλίου, τῇ νοητῇ δαδουχίᾳ, τοὺς πιστοὺς φρυκτωροῦντες, οἱ ἐν τῇ Κρήτῃ Ἅγιοι, οὓς αἰνέσωμεν πάντες, οἱ εὐσεβεῖς, τὸν Θεὸν δοξάζοντες ἐν αἰνέσει, τὸν θαυμαστὸν ὡς γέγραπται, ἐν χορῷ τῶν Ἁγίων.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῶν ἐν τῇ Κρήτῃ Ἁγίων, τὴν εὐκλεᾶ παρεμβολήν, ὡς συνοδείαν Κυρίου, καὶ μεσιτείαν πρὸς

γενναῖαι, ἐν στάσει μαρτυρίου.

Ἀγάπῃ τῇ θείᾳ ἐκφλεχθέντα, Ἁγίων τῶν ἐν τῇ Κρήτῃ τὰ συστήματα, στρατιαὶ αἰώνιοι, ὤφθησαν τῆς πίστεως, ὅτι ἰδίῳ ἕκαστος, τρόπῳ ἠγάπησε, Χριστὸν τὸν ἀγαπήσαντα πρῶτον, γένος τῶν ἀνθρώπων, δι' ἄκραν εὐσπλαγχνίαν.

Γέγηθεν ἡ Κρήτη καὶ χορεύει, Ἁγίων τὴν πολυσύνθετόν τε Σύναξιν, καὶ λαμπρὰν πανήγυριν, πόθῳ ἑορτάζουσα, Ἱεραρχῶν τὸν ἔνδοξον, δῆμον γεραίρουσα, Ὁσίων τε Μαρτύρων χορείας, τύπων ἔργων θείων, δειχθέντων ἐν τῷ κόσμῳ.

Θεοτοκίον.

Ἴασαι Ἁγνὴ τὰ τραύματά μου, ἃ ἔχει μοι ἐπιφέρει ἡ ἀμέλεια, καὶ κακῶν συνήθεια· διό σοι προσέρχομαι, καὶ ἐν θερμοῖς τοῖς δάκρυσιν, αἰτῶ μετάνοιαν, καὶ ἄφεσιν αἰσχρῶν μελημάτων, ἵνα ὡς αἰτίαν, ὑμνῶ σε σωτηρίας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Κανὼν πρῶτος. Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

Ὅτε κρυμὸς τῆς δουλείας, δεινῶς ἐν Κρήτῃ ἐκράτει, τότε ἐχθρῶν ἐπιδρομάς, ψυχικῇ ἐν ἀνδρείᾳ, πληθὺς ὁσίων Μοναστῶν, ὑπέμεινε καὶ χαίρουσα ἔπιε, μαρτυρίου τὸ πόμα, τῇ ἐλπίδι τῆς ἀμείνονος ζωῆς.

Τοὺς συναθλήσαντας πίστει, ἐν τῆς δουλείας τοῖς χρόνοις, τῷ Γερασίμῳ τῶν Κρητῶν, σεβασμίῳ προέδρῳ, καὶ Ἐπισκόπων τῷ χορῷ, προκρίτους Ἱερεῖς ἰδιώτας τε, μακαρίσωμεν πάντες, ὡς Μαρτύρων θεοσύλλεκτον χορόν.

Τοὺς ἐν τῇ Κρήτῃ Ἁγίους, τοὺς ἐν καιροῖς διαφόροις, ἁγιωσύνης τοὺς καρπούς, ἀρετῶν γεωργίᾳ, καρποφορήσαντας καλῶς, συμφώνως ἐν ὕμνοις εὐφημήσωμεν, ὡς ἂν πάσης ἀνάγκης, λυτρωθῶμεν παρακλήσεσιν αὐτῶν.

Σὺν Ἀποστόλοις ἁγίοις, σὺν τοῖς σοφοῖς Ἱεράρχαις, σὺν τῶν Μαρτύρων τῷ χορῷ, σὺν Ὁσίων τῷ δήμῳ, καὶ Νεοάθλων τῇ σειρᾷ, ἀρχίθρονε Τίτε καθικέτευε, τὸν Δεσπότην τοῦ κόσμου, ὑπὲρ ποίμνης τῆς ἁγίας σου ἀεί.

Ἐπιδρομῆς ἀλλοφύλων, λιμοῦ σεισμοῦ καὶ λοιμοῦ τε, λύμης αἱρέσεων δεινῶν, ἀσεβείας τῆς πλάνης, καὶ ἁπάντων χαλεπῶν, κινδύνων ἀλώβητον τηρήσατε, θεοφόροι τὴν νῆσον, καυχωμένην ἐν Κυρίῳ ἐφ' ὑμᾶς.

Θεοτοκίον.

Θεοκυῆτορ Μαρία, σὺν τῶν ἐν Κρήτῃ Ἁγίων, παρεμβολῇ τῇ θαυμαστῇ, τῷ ἐκ σοῦ σαρκωθέντι, πρέσβευε πάντοτε θερμῶς, πυρὸς τῆς γεέννης ἵνα ῥύσηται, τοὺς ὑμνοῦντάς σε πόθῳ, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

Κανὼν δεύτερος. Ἅπας γηγενής.

Ὢ τῶν ὑπὲρ νοῦν, τοῖς ἄνω στρατεύμασι, πῶς ἠριθμήθησαν, σκεύη φθαρτὰ πήλινα! ἅτινα ὄντως μετεμορφώθησαν, δι' ἀρετῶν ἀσκήσεως, καὶ θείας νήψεως, τὸ ἀρχαῖον κάλλος ἐνδυσάμενα, χρυσωθέντα φωτί τε τοῦ Πνεύματος.

Νάματα ζωῆς, τῆς ἄνω δωρήσατε, Κρήτης οἱ Ἅγιοι, πᾶσι τοῖς προστρέχουσιν, ὑμῶν λειψάνοις, ψυχῆς ἐν δάκρυσι, δι' ὧν καὶ μύρα χάριτος, τοῖς πᾶσι νέμετε, νοσημάτων χαλεπῶν λυτρούμενοι, καὶ κινδύνων ἡμᾶς ἐξαιρούμενοι.

Ἔλαμψαν ἡμῖν, τὴν Κρήτην λαμπρύνοντες, πάντες οἱ Ἅγιοι, ἐν τῷ στερεώματι, τῆς Ἐκκλησίας καὶ ἐν φρονήματι, ἀπεριτρέπτῳ δόγμασι, σαφῶς στηρίζοντες, τὰς καρδίας τῶν πιστῶν ἐν χάριτι, τῆς Τριάδος τῇ πίστει πρεσβεύοντες.

Θεοτοκίον.

Ὕπερθεν ἡμῶν, δεινῶν καὶ κακώσεων, σῇ κραταιᾷ χειρί, ἆρον τὰ βουλεύματα, τοῦ τυραννοῦντος γένος ἀνθρώπινον, καὶ μητρικῇ πρεσβείᾳ σου, πάντας διάσωζε, ἵνα πόθῳ μέλπωμέν σοι Ἄχραντε· χαῖρε κόσμου Σωτῆρα ἡ τέξασα.

Καταβασία. Ἅπας γηγενής.

Εἶτα τὸ ἀναστάσιμον Ἐξαποστειλάριον καὶ τὸ τῶν Ἁγίων.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὥσπερ φωστῆρες πάμφωτοι, τῇ τοῦ Τίτου καθέδρᾳ, σήμερον ἐξανέτειλαν, τοῦ ἀδύτου Ἡλίου, τῇ νοητῇ δᾳδουχίᾳ, τοὺς πιστοὺς φρυκτωροῦντες, οἱ ἐν τῇ Κρήτῃ Ἅγιοι, οὓς αἰνέσωμεν πάντες, οἱ εὐσεβεῖς, τὸν Θεὸν δοξάζοντες ἐν αἰνέσει, τὸν θαυμαστὸν ὡς γέγραπται, ἐν χορῷ τῶν Ἁγίων.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῶν ἐν τῇ Κρήτῃ Ἁγίων, τὴν εὐκλεᾶ παρεμβολήν, ὡς συνοδείαν Κυρίου, καὶ μεσιτείαν πρὸς

αὐτόν, δεῦτε τιμήσωμεν πάντες, ἐν συμφωνίᾳ ᾀσμάτων.

Θεοτοκίον.

Θεοκυῆτορ Μαρία, ἀεὶ δυσώπει ἐκτενῶς, τὸν ἐξ ἁγνῶν σου αἱμάτων, ἐνανθρωπήσαντα Θεόν, ὑπὲρ ἡμῶν τῶν κυρίως, ὑμνούντων σε Θεοτόκον.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. η´ καὶ ψάλλομεν ἀναστάσιμα Στιχηρὰ τοῦ τυχόντος ἤχου δ´ καὶ τῶν Ἁγίων τὰ κάτωθι δ´.

Ἦχος α´. Πανεύφημοι Μάρτυρες.

Ἁγίων τῆς Κρήτης τὴν λαμπράν, σήμερον ὁμήγυριν, ἐν ἐγκωμίοις τιμήσωμεν, ὅτι βιώσαντες, ἐν Θεοῦ τῷ νόμῳ, θαυμαστοὶ γεγόνασιν, ἀκτίστῳ χορηγίᾳ τοῦ Πνεύματος, καὶ πολιτεύματος, οὐρανίου ἠξιώθησαν, σὺν Ἀγγέλοις, ἀεὶ εὐφραινόμενοι.

Χριστῷ στρατευθέντες ἐπὶ γῆς, ἐν φωτὸς ὡς γέγραπται, τῇ πανοπλίᾳ ᾐσχύνατε, σκότους τὸν ἄρχοντα, καὶ ὡς νικηφόροι, οἱ ἐν Κρήτῃ Ἅγιοι, στεφάνοις βασιλείας τῆς ἄνωθεν, κατεκοσμήθητε, ταῖς εὐχαῖς ὑμῶν αἰτούμενοι, τῶν πταισμάτων, ἡμῖν τὴν συγχώρησιν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Θεοῦ τῷ θελήματι καλῶς, ὡς διακονήσαντες, μεθόδοις τρόπων τῆς πίστεως, ἐγεωργήσατε, καρποὺς ἀθανάτους, εὐσεβείας Ἅγιοι, τῆς νήσου τῶν Κρητῶν τῷ πληρώματι, ὃ διασῴζετε, δραστικαῖς ὑμῶν ἐντεύξεσι, ἀπιστίας, τῆς λύμης ἀμόλυντον.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Πρεσβεύετε πάντοτε ὑμεῖς, οἱ ἐν Κρήτῃ Ἅγιοι, οἱ θεοφόροι αὐτόχθονες, καὶ οἱ ἐπήλυδες, οἱ ἐν διαφόροις, ἔτεσιν δοξάσαντες, Χριστὸν ὁμοφροσύνῃ τῆς πίστεως, ἵνα δωρήσηται, τῷ λαῷ αὐτοῦ ὡς εὔσπλαγχνος, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. δ´.
Εὐαγγέλου Ἱερέως.

Τῶν τῆς Κρήτης Ἁγίων ὁ χορός, ἐπὶ ἐνιαυσίῳ Συνάξει συνδραμών, πιστῶν εὐλαβῶν τὰ πλήθη συνελθόντα, ἐν Ἐκκλησίᾳ γηθοσύνως καταυγάζει, ταῖς ἀστραπαῖς αὐτῶν τῆς θεογνωσίας, τρανῶς ὡς εὕραντο ἐν τοῖς Πατράσιν. Ὧν τὰ συστήματα πάντα, μακαρίσωμεν λέγοντες· ὦ θεία παρεμβολή, σὺν σοφοῖς Ἀποστόλοις, θεοφόροι Ἱεράρχαι· Μαρτύρων οἱ σύλλογοι, Νεομαρτύρων ἀθροίσματα, τῶν Ἀσκητῶν πληθύς, παρθενευόντων χορεῖαι, εὐσεβείας τὰ ἄνθη τὰ πανευώδη, πιστότατοι δοῦλοι τοῦ Κυρίου· Ἐκκλησίας τὸ καύχημα, οἰκουμένης τὸ ἥδυσμα, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί, ἐν οἷς ψάλλομεν δ´ ἀναστάσιμα Τροπάρια καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων τὴν στ´ ᾠδήν. Ἀπόστολον, ζήτει τῇ κε´ τοῦ Αὐγούστου μηνός. Εὐαγγέλιον, τὸ τῆς Κυριακῆς.

Κοινωνικόν, πρῶτον τὸ τῆς Κυριακῆς.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν Ἀλληλούϊα.

Εἶτα δὲ τὸ τῶν Ἁγίων.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

Μεγαλυνάρια. Κυρίλλου Ἱερομονάχου.

Χαίροις συστοιχία πανευκλεής, σύναψις ὀλβία, θεηγόρος παρεμβολή, ἕνωσις ἁγία, λαμπρᾷ ἐν ἁρμονίᾳ, Ἁγίων οὓς ἡ νῆσος, Κρητῶν ἐξέθρεψε.

Τοὺς ἐν Κρήτῃ πάντας ὑπὲρ Χριστοῦ, πολιτευσαμένους, πολυτρόπως δι᾽ ἀρετῆς, εἰς μίαν χορείαν, συνάψαντες συμφώνως, δεῦτε πιστοὶ ἐν ὕμνοις, πόθῳ τιμήσωμεν.

Ἕτερα. Εὐαγγέλου Ἱερέως.

www.tezaurliturgic.ro

Χαίροις τῶν Ἁγίων Κρήτης χορός, θείων Ἀποστόλων, Ἱερέων Ἱεραρχῶν, Μαρτύρων Ὁσίων, γνωστῶν τε καὶ ἀγνώστων· μὴ παύσησθε Κυρίῳ, ἀεὶ πρεσβεύοντες.

Ἡ νῆσος σεμνύνεται τῶν Κρητῶν, ἐπὶ τῇ Συνάξει, τῶν Ἁγίων τῶν εὐκλεῶς, ἐν αὐτῇ ἀγῶσι, ποικίλοις δοξασθέντων, καὶ δόξης μετεχόντων, Κυρίου πάντοτε.

Χαίροις σμῆνος ἔνθεον τῶν Κρητῶν, Ἁγίων Μαρτύρων, Ἱερέων Ἱεραρχῶν, Ὁσίων Παρθένων, κλεινῶν Νεομαρτύρων, ὧν τὰς λιτὰς ἀπαύστως, ἐπικαλούμεθα.

*Δίστιχον.*

*Κύριλλος ἀνύμνησε σὺν Εὐαγγέλῳ*
*Δῆμον θεοσύλλεκτον Κρητῶν Ἁγίων.*

